Αἰθώπειον αἷμα· ἐπὶ τῶν συβαπονίπτοις ὀνείδεσιν ἐνεχομένων.
ἐπειδὴ τοῖς δελφοῖς ἀδίκως ἀνελέσθαι τὸν Αἴσωπον, ὠργίσθη ὁ
θεός.

Αἰέτιον χάριν ἐκτίσω· ἐπὶ τῶν ταχέως μεγάλαις δωρεαῖς ἀν-
τιχαριζομένων. θερίζοντες δὲ ἄνθρωποι τοῦ ἡλίου καταφλέ-
γοντος δίψει πιεζόμενοι τὸν ἀριθμὸν ἐκκαίδεκα ἕνα ἐξ
αὐτῶν ἀπέστειλαν ἐκ πηγῆς γείτονος αὐτῆς κομίσαι ὕδωρ. ἐκ-
οῦν ἀπιὼν τὸ μὲν δρέπανον τὸ ἀμητικὸν διὰ χειρὸς εἶχε, τὸ
δὲ ἀρυστικὸν ἀγγεῖον κατὰ τοῦ ὤμου ἔφερεν. ἐλθὼν δὲ κατα-
λαμβάνει ἀετὸν ὑπό τινος ὄφεως ἐγκρατῶς τε καὶ ἀφύκτως
περιπλακέντος ἀποπνιγόμενον ἤδη. ἔτυχε δὲ ἄρα κατα-
πτὰς μὲν ἐπ' αὐτὸν ὁ ἀετός, ὁ μὴν κρείττων γενόμενος,
τοῦ τῆς ἐπιβουλῆς κρείττων ἐγένετο. ὁ δὲ τοῦτο δὴ τὸ ὀρνι-
θικόν, τοῖς ἑαυτοῦ τέκνοις τὴν δαῖτα ἐκόμισεν, ἀλλὰ ταῖς
ἐκείνου σπείραις περιπεσὼν ἔμαθεν, ἔμελλεν ὁ καὶ δὴ
ἀπολεῖν ἀλλ' ἀπολεῖσθαι. εἰδὼς οὖν ὁ γεωργὸς ἢ καὶ ἀκη-
κοώς, τὸν μὲν εἶναι Διὸς ἄγγελον, εἰδώς γε μὴν κακὸν θη-
ρίον τὸν ὄφιν, τῷ δρεπάνῳ διακόπτει τὸν θῆρα. καὶ μέντοι
τῶν ἀφύκτων δεσμῶν τὸν ἀετὸν ἀπολύει. ἀρυσάμενος δὲ
τὸ ὕδωρ ἧκε καὶ πρὸς τὸν οἶνον κεράσας ὤρεξε πᾶσιν. οἱ
δὲ ἄρα ἐξέπιον καὶ χανδὸν καὶ πολλὰς ἐπὶ τῷ ἀρίστῳ. ἔμελ-
λε δὲ καὶ αὐτὸς ἐπ' ἐκείνοις πίεσθαι. ἔτυχε δὲ ὑπηρέτης
καὶ ἐκεῖνος τοῦ καιροῦ, ἀλλ' οὐ συμπότης ὤν. ἐπεὶ δὲ
τοῖς χείλεσι τὴν κύλικα προσῆγεν ὁ σωτὴρ αἰετὸς ζωά-
γρια ἐκτίνων οἱ, καὶ κατὰ τύχην ἀγαθὴν ἐκείνου, ἔτι δια-
τρίβων περὶ τὸν χῶρον, ἐμπίπτει τῇ κύλικι καὶ ἐκχεῖ
τὸ ποτόν. ὁ δὲ ἠγανάκτησε, καὶ γὰρ ἔτυχε διψῶν· καίτε-
γε, εἶτα μέντοι οὐκ ἐκεῖνος ὤν. καὶ γὰρ καὶ τὸν ὄρνιν
ἐγνώριζε, τοιαύτας ἀπεδίδως τοῖς σωτῆρσι τὰς χάριτας;
ἀλλὰ πῶς ἂν καὶ ἄλλος σπουδὴν κατὰ τοῦτο εἰς ~~...~~ ἀ-
δοῦ Διὸς χαρίτων ἔφορος τὰ καὶ ἐπόπτου; καὶ τῷ μὲν ταῦ-
τα εἴρητο· ὁρᾷ δὲ ἐπιστραφεὶς τοὺς πιόντας ἀσπαίρον-
τάς τε καὶ ἀποθνῄσκοντας. ἦν δὲ ἄρα ὡς συμβαλεῖν
ἐμημεκὼς ἐς τὴν πηγὴν ὁ ὄφις καὶ κεράσας αὐτὴν
τῷ ἰῷ. οὕτως ὁ ἀετὸς τῷ σώσαντι ἀμοιβὴν τὴν ἰσοτί-
μας σωτηρίας ἀπέδωκε τὸν μισθόν.

) Repetita haec ex Aelian. hist. animal. lib. XVII. Cap. 37.

Τὸν δὲ χρυσάετον, ὡς δ' ἄλλοι φασὶν ἀστερίαν, οὐ μό-
νον νεβροῖς ἀλλὰ καὶ ταύροις ἐπιτίθεσθαι κατὰ τὸ καρ-
τερόν. ὁ μὲν γὰρ κανονικῶς κάτω νέμεται ὁ ταῦρος. ὁ
δὲ ἀετὸς ἐπὶ τῷ τένοντι τοῦ ζώου καθίσας ἑαυτὸν παί-
ει τῷ στόματι συνεχέσι καὶ καρτερικαῖς ταῖς πληγαῖς·
ὁ δὲ ταῦρος οἰστρηθεὶς ἐξάλλεται καὶ ἡ ποδώκειᾳ
φυγῇ χρῆται θεῖ ἕως μὲν ἐνήλλαται ὁ ἀετὸς ἡσυ-
χῶς ἔτι καὶ ἐπιπολάζει παραφυλάττων. ὅταν δὲ τὸν
ταῦρον θεάσηται πλησίον κρημνοῦ γενόμενον κινήσ-
ας τὰ πτερὰ καὶ ὑπερτείνας αὐτοῦ τῶν ὀφθαλμῶν
ἐποίησε τὰ ἐν ποσὶ μὴ προϊδόμενον κατενεχθῆναι
βιαιότατα. εἶτα ἐπιπεσὼν καὶ ἀναρρήξας τὴν γαστέ-
ρα ῥᾳδίως χρῆται τῇ [το] ἄγρᾳ, εἰς ὅσον ἐθέλει. θη-
ρὰς δὲ ἀλλοτρίας οὐχ ἅπτεται κειμένης, ἀλλὰ χαίρει
τοῖς ἑαυτοῦ πόνοις, κοινωνίαν δὲ τὴν πρὸς ἄλλον ἥκιστα
ἐνδέχεται. κορεσθεὶς δὲ εἶτα τοῦ λοιποῦ πονηρὸν ἆσθμα
καὶ δυσωδέστατον καταπνεύσας, ἄβρωτα τοῖς ἄλλοις τὰ
λείψανα ἐᾷ. καὶ μέντοι ἀλλήλων ἀπῳκισμένας οἰκεῖ
καλιάς, ὑπὲρ τοῦ μὴ διαφθείρεσθαι ὑπὸ θήρας καὶ λυπη-
μένης λοιπῶν. ζηλοτυπώτατος δέ ἐστιν ὁ ἀετὸς πρὸς τὰ
νεόττια. ἐὰν γοῦν θεάσηται τινα προσιόντα, παίει τοῖς
πτεροῖς αὐτὸν καὶ τοῖς ὄνυξι λυμαίνεται.

) Ex Aelian. hist. animal. lib. II. Cap. 39.

Ἀΐδης ἐν πέπλῳ καὶ ἀΐδης [illegible]· ἐπὶ τῶν σφόδρα ἐγειρόν-
των καὶ ὑπερηχούντων. ἡ γὰρ Ἀθηνᾶ πέπλον ὑπερήφε-
ρε κάλλει, ὑφ' οὗ ἐκαλύφθη.